20/10/2024

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής ΣΤ’ Λουκά

/ Ορθόδοξες Προβολές

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής ΣΤ΄ Λουκά: Λκ. η’ 26 – 39

Πρωτότυπο Κείμενο

Τῷ καιρῷ ἐκείνῳ, ελθόντι τῷ ᾽Ιησοῦ εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν, καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ᾽ ἐν τοῖς μνήμασιν. Ἰδὼν δὲ τὸν Ἰησοῦν καὶ ἀνακράξας προσέπεσεν αὐτῷ καὶ φωνῇ μεγάλῃ εἶπε· τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; δέομαί σου, μή με βασανίσῃς. Παρήγγειλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου. Πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν, καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσόμενος, καὶ διαρρήσσων τὰ δεσμὰ ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους. Ἐπηρώτησε δὲ αὐτὸν ὁ ᾽Ιησοῦς λέγων· τί σοί ἐστιν ὄνομα; Ὁ δὲ εἶπε· λεγεών· ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτόν· Καὶ παρεκάλει αὐτὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει· καὶ παρεκάλουν αὐτὸν ἵνα

ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν· καὶ ἐπέτρεψεν αὐτοῖς. Ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου εἰσῆλθον εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην καὶ ἀπεπνίγη. Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον ἔφυγον, καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός, καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον, ἀφ᾽ οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱματισμένον καὶ σωφρονοῦντα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐφοβήθησαν. Ἀπήγγειλαν δὲ αὐτοῖς οἱ ἰδόντες πῶς ἐσώθη ὁ δαιμονισθείς. Καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν Γαδαρηνῶν ἀπελθεῖν ἀπ᾽ αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο· αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον ὑπέστρεψεν. Ἐδέετο δὲ αὐτοῦ ὁ ἀνήρ, ἀφ᾽ οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς λέγων· ὑπόστρεφε εἰς τὸν οἶκόν σου καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ Θεός. Καὶ ἀπῆλθε καθ᾽ ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

Νεοελληνική Απόδοση

Εκείνο τον καιρό, ο Ιησούς ήλθε στην περιοχή των Γαδαρηνών. Εκεί τον συνάντησε κάποιος άντρας από την πόλη, που είχε μέσα του δαιμόνια από πολύν καιρό. Ρούχο δεν ντυνόταν ούτε έμενε σε σπίτι, αλλά ζούσε στα μνήματα. Όταν είδε τον Ιησού, έβγαλε μια κραυγή, έπεσε στα πόδια του και του είπε με δυνατή φωνή: «Τι δουλειά έχεις εσύ μ’ εμένα Ιησού, Υιέ του υψίστου Θεού; Σε παρακαλώ μη με βασανίσεις». Αυτά τα είπε, γιατί ο Ιησούς είχε διατάξει το δαιμονικό πνεύμα να βγει από τον άνθρωπο. Από πολλά χρόνια τον είχε στην εξουσία του, και για να τον συγκρατήσουν τον έδεναν με αλυσίδες και του έβαζαν στα πόδια σιδερένια δεσμά. Εκείνος όμως έσπαζε τα δεσμά, και το δαιμόνιο τον οδηγούσε στις ερημιές. Ο Ιησούς τον ρώτησε: «Ποιο είναι το όνομά σου;» Εκείνος απάντησε: «Λεγεών»· γιατί είχαν μπει μέσα του πολλά δαιμόνια. Τα δαιμόνια, λοιπόν, τον παρακαλούσαν να μην τα διατάξει να πάνε στην άβυσσο. Εκεί κοντά ήταν ένα κοπάδι από πολλούς χοίρους που έβοσκαν στο βουνό, και τα δαιμόνια παρακαλούσαν τον Ιησού να τους επιτρέψει να μπουν στους χοίρους, και τους το επέτρεψε. Βγήκαν, λοιπόν, από τον άνθρωπο και μπήκαν στους χοίρους. Τότε το κοπάδι όρμησε προς τον γκρεμό και πνίγηκε στη λίμνη. Μόλις οι βοσκοί είδαν τι έγινε, έφυγαν και το είπαν στην πόλη και στην ύπαιθρο. Βγήκαν οι άνθρωποι να δουν τι έγινε και ήρθαν κοντά στον Ιησού. Βρήκαν τον άνθρωπο από τον οποίο βγήκαν τα δαιμόνια να κάθεται δίπλα στον Ιησού, να φοράει ρούχα και να φέρεται λογικά, και φοβήθηκαν. Όσοι είχαν δει τι είχε γίνει, τους είπαν για το πώς ο δαιμονισμένος σώθηκε. Τότε όλο το πλήθος από την περιοχή των Γαδάρων παρακαλούσαν τον Ιησού να φύγει από κοντά τους, γιατί τους είχε πιάσει μεγάλος φόβος. Εκείνος μπήκε στο πλοιάριο για να γυρίσει πίσω. Ο άνθρωπος από τον οποίο είχαν βγει τα δαιμόνια τον παρακαλούσε να τον πάρει μαζί του. Ο Ιησούς όμως του είπε να φύγει, με τα παρακάτω λόγια: «Γύρισε στο σπίτι σου και διηγήσου όσα έκανε σ’ εσένα ο Θεός». Εκείνος έφυγε

διαλαλώντας σ’ όλη την πόλη όσα έκανε σ’ αυτόν ο Ιησούς.